ἴση· καὶ ἡ ΓΑ ἄρα τῇ ΓΔ ἐστιν ἴση· ὥστε καὶ γωνία ἡ ὑπὸ ΓΔΑ γωνίᾳ τῇ ὑπὸ ΔΑΓ ἐστιν ἴση· αἱ ἄρα ὑπὸ ΓΔΑ, ΔΑΓ τῆς ὑπὸ ΔΑΓ εἰσι διπλασίους. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ· καὶ ἡ ὑπὸ ΒΓΔ ἄρα τῆς ὑπὸ ΓΑΔ ἐστι διπλῆ. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ἑκατέρᾳ τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ τῆς ὑπὸ ΔΑΒ ἐστι διπλῆ.

Ἰσοσκελὲς ἄρα τρίγωνον συνέσταται τὸ ΑΒΔ ἔχον ἑκατέραν τῶν πρὸς τῇ ΔΒ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς· ὅπερ ἔδει ποιῆσαι.

ια'.

Εἰς τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἐκκείσθω τρίγωνον ἰσοσκελὲς τὸ ΖΗΘ διπλασίονα ἔχον ἑκατέραν τῶν πρὸς τοῖς Η, Θ γωνιῶν τῆς πρὸς τῷ Ζ, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔΕ κύκλον τῷ ΖΗΘ τριγώνῳ ἰσογώνιον τρίγωνον τὸ ΑΓΔ, ὥστε τῇ μὲν πρὸς τῷ Ζ γωνίᾳ ἴσην εἶναι τὴν ὑπὸ ΓΑΔ, ἑκατέραν δὲ τῶν πρὸς τοῖς Η, Θ ἴσην ἑκατέρᾳ τῶν

XI. Boetius p. 389, 10.

---

1. ΓΑ] Pφ, V in ras. m. 2; ΑΓ Bp. 2. γωνίᾳ] om. V. 3. ΔΑΓ] (alt.) P, F (supra m. 2: ΓΔΑ), V in ras. m. 2; ΓΑΔ Bp. διπλάσιοι F. 4. δέ] δὲ καί V. ἡ] supra m. 2 P. ΓΔΑ] Pφ; in ras. m. 2 V; ΓΑΔ Bp. ΔΑΓ] ΓΔΑ Bp. καί] διπλῆ ἄρα Bp. 5. ἄρα] om. Bp. ΓΑΔ] in ras. V, Γ e corr. F. ἐστιν PB, comp. p. διπλῆ] om. Bp. 6. καί] om. P. 7. ΔΑΒ] ΒΑΔ P. 9. συνίσταται V. ΑΒΔ]

uerum supposuimus, esse $B\Delta = \Gamma A$. itaque etiam

$$\Gamma A = \Gamma\Delta;$$

quare etiam $\angle \Gamma\Delta A = \Delta A\Gamma$ [I, 5]. itaque

$$\Gamma\Delta A + \Delta A\Gamma = 2\,\Delta A\Gamma.$$

sed $B\Gamma\Delta = \Gamma\Delta A + \Delta A\Gamma$. itaque etiam

$$B\Gamma\Delta = 2\,\Gamma A\Delta.$$


sed $B\Gamma\Delta = B\Delta A = \Delta BA$. ergo uterque $B\Delta A$, ΔBA duplo maior est angulo ΔAB.

Ergo triangulus aequicrurius constructus est $AB\Delta$ utrumque angulum ad ΔB basim positum duplo maiorem habens reliquo; quod oportebat fieri.

XI.

In datum circulum quinquangulum aequilaterum et aequiangulum inscribere.

Sit datus circulus $AB\Gamma\Delta E$. oportet igitur in circulum $AB\Gamma\Delta E$ quinquangulum aequilaterum et aequiangulum inscribere.



construatur triangulus aequicrurius $ZH\Theta$ utrumque angulum ad H, Θ positum duplo maiorem habens angulo ad Z posito [prop. X], et in circulum $AB\Gamma\Delta E$ triangulo $ZH\Theta$ aequiangulus inscribatur triangulus $A\Gamma\Delta$, ita ut sit $\angle \Gamma A\Delta$ angulo ad Z posito aequalis, uterque autem $A\Gamma\Delta$, $\Gamma\Delta A$ utrique angulorum ad

---

B p φ; V m. 2; $A\Delta B$ P. 10. $B\Delta$ p. 15. ἔστω — 17. ἐγγράψαι] om. P. 19. ἑκατέραν] om F. πρὸς τοῖς H, Θ γωνιῶν] λοιπῶν P. 20. τῷ] (prius) τό B, F m. 1 (corr. m. 2). 22. τῷ] τό B. 23. ἑκατέραν] ἑκατέρα (α in ras.) p, ἑκατέρᾳ P. τῶν] in ras. p; τήν B. ἑκατέρᾳ] ἑκατέραν P et e corr. p. τῶν] φ, ἄρα τῶν F.

ὑπὸ $A\Gamma\Delta$, $\Gamma\Delta A$· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ $A\Gamma\Delta$, $\Gamma\Delta A$ τῆς ὑπὸ $\Gamma A\Delta$ ἐστι διπλῆ. τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ $A\Gamma\Delta$, $\Gamma\Delta A$ δίχα ὑπὸ ἑκατέρας τῶν ΓE, ΔB εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ AB, $B\Gamma$, $[\Gamma\Delta]$, ΔE, EA.

Ἐπεὶ οὖν ἑκατέρα τῶν ὑπὸ $A\Gamma\Delta$, $\Gamma\Delta A$ γωνιῶν διπλασίων ἐστὶ τῆς ὑπὸ $\Gamma A\Delta$, καὶ τετμημέναι εἰσὶ δίχα ὑπὸ τῶν ΓE, ΔB εὐθειῶν, αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ $\Delta A\Gamma$, $A\Gamma E$, $E\Gamma\Delta$, $\Gamma\Delta B$, $B\Delta A$ ἴσαι ἀλλήλαις εἰσίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ πέντε ἄρα περιφέρειαι αἱ AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA ἴσαι ἀλλήλαις εἰσίν. ὑπὸ δὲ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ $AB\Gamma\Delta E$ πεντάγωνον. λέγω δή, ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἡ AB περιφέρεια τῇ ΔE περιφερείᾳ ἐστὶν ἴση, κοινὴ προσκείσθω ἡ $B\Gamma\Delta$· ὅλη ἄρα ἡ $AB\Gamma\Delta$ περιφέρεια ὅλῃ τῇ $E\Delta\Gamma B$ περιφερείᾳ ἐστὶν ἴση. καὶ βέβηκεν ἐπὶ μὲν τῆς $AB\Gamma\Delta$ περιφερείας γωνία ἡ ὑπὸ $AE\Delta$, ἐπὶ δὲ τῆς $E\Delta\Gamma B$ περιφερείας γωνία ἡ ὑπὸ BAE· καὶ ἡ ὑπὸ BAE ἄρα γωνία τῇ ὑπὸ $AE\Delta$ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ $AB\Gamma$, $B\Gamma\Delta$, $\Gamma\Delta E$ γωνιῶν ἑκατέρᾳ τῶν ὑπὸ BAE, $AE\Delta$ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ $AB\Gamma\Delta E$ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

---

1. Post $\Gamma\Delta A$ mg. m. 2 add. *γωνιῶν* F. 2. *τῆς ὑπὸ* $\Gamma A\Delta$] om. p. *δή*] om. Bp. 3. *ἑκατέρας*] mg. m. 2 V. 4. ΓE] E e corr. F. ΔB] ΔE F; corr. m. rec. 5. $\Gamma\Delta$] om. V. 7. *ἐστίν* P. *εἰσίν* P. 9. $E\Gamma\Delta$] Δ in ras. m. 2 P. $\Gamma\Delta B$] in ras. F; Γ in ras. m. 2 P. $B\Delta A$] in ras. F, e corr. m. 2 V. *ἀλλήλαις εἰσίν*] *ἀλλη* in ras. F, reliqua absumpta ob per-

H, Θ positorum aequalis [prop. II]. quare etiam

$$\angle A\Gamma\Delta = \Gamma\Delta A = 2\,\Gamma A\Delta.$$

iam $\angle A\Gamma\Delta$, $\Gamma\Delta A$ rectis ΓE, ΔB in binas partes aequales secentur [I, 9], et ducantur AB, $B\Gamma$, ΔE, EA.[1]) iam quoniam anguli $A\Gamma\Delta$, $\Gamma\Delta A$ duplo maiores sunt angulo $\Gamma A\Delta$ et rectis ΓE, ΔB in binas partes aequales secti sunt, erit $\Delta A\Gamma = A\Gamma E = E\Gamma\Delta = \Gamma\Delta B = B\Delta A$. et anguli aequales in aequalibus arcubus consistunt [III, 26]. itaque quinque arcus AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA inter se aequales sunt. et sub aequalibus arcubus aequales rectae subtendunt [III, 29]. itaque quinque rectae AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA inter se aequales sunt. itaque quinquangulum $AB\Gamma\Delta E$ aequilaterum est. dico, idem aequiangulum esse. nam quoniam arc. $AB = \Delta E$, communis adiiciatur arc. $B\Gamma\Delta$. itaque arc. $AB\Gamma\Delta = E\Delta\Gamma B$. et in arcu $AB\Gamma\Delta$ angulus $AE\Delta$ consistit, in $E\Delta\Gamma B$ autem $\angle BAE$. quare etiam $\angle BAE = AE\Delta$ [III, 27]. eadem de causa etiam singuli anguli $AB\Gamma$, $B\Gamma\Delta$, $\Gamma\Delta E$ utrique angulo BAE, $AE\Delta$ aequales sunt. quare aequiangulum est quinquangulum $AB\Gamma\Delta E$. sed demonstratum est, idem aequilaterum esse.

1) Lin. 5 uidetur delendum esse $\Gamma\Delta$ cum Gregorio.

gam. ruptum. 10. δέ] δ' BV. 12. εἰσίν] ἐστίν V. 16. ἰσογώνιον] litt. ἰσο- in ras. m. 2 V. 17. τῇ ΔΕ περιφερείᾳ] om. F, supra m. 2: τῇ ΕΔ περιφερείᾳ. ἴση ἐστίν V. 19. ἴση ἐστί V. 20. ΕΔΓΒ] ΒΓΔΕ F. καί] comp. supra scr. m. 2 F. 21. ἡ ὑπὸ ΒΑΕ] mg. m. 2 F. 22. γωνία ἄρα V. ἴση ἐστί V. 23. καί] om. BV. 25. ἐστιν PF.

Εἰς ἄρα τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ιβ'.

Περὶ τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὲ περὶ τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Νενοήσθω τοῦ ἐγγεγραμμένου πενταγώνου τῶν γωνιῶν σημεῖα τὰ Α, Β, Γ, Δ, Ε, ὥστε ἴσας εἶναι τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ περιφερείας· καὶ διὰ τῶν Α, Β, Γ, Δ, Ε ἤχθωσαν τοῦ κύκλου ἐφαπτόμεναι αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ, καὶ εἰλήφθω τοῦ ΑΒΓΔΕ κύκλου κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΚ, ΖΓ, ΖΛ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μὲν ΚΛ εὐθεῖα ἐφάπτεται τοῦ ΑΒΓΔΕ κατὰ τὸ Γ, ἀπὸ δὲ τοῦ Ζ κέντρου ἐπὶ τὴν κατὰ τὸ Γ ἐπαφὴν ἐπέζευκται ἡ ΖΓ, ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΚΛ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν πρὸς τῷ Γ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Δ σημείοις γωνίαι ὀρθαί εἰσιν. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΖΓΚ γωνία, τὸ ἄρα ἀπὸ τῆς ΖΚ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΓ, ΓΚ. διὰ τὰ αὐτὰ δὴ καὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΚ· ὥστε τὰ ἀπὸ τῶν

XII. Boetius p. 389, 8.

---

1. *κύκλον*] corr. ex *κύκλος* m. 2 F. 2. *τε*] om. V. 3. *ποιῆσαι*] *δεῖξαι* V; *γρ. δεῖξαι* mg. m. 2 F. 7. *ΑΒΓΔΕ*] *Ε* in ras. m. 2 V. 8. *ΑΒΓΔΕ*] *Ε* in ras. m. 2 V. 11. *σημεῖα*] *-α* in ras. m. 2 V. 13. *ΑΒ*, *ΓΔ*, *ΔΕ* P. 14. *ΜΗ*] *ΜΝ* F; corr. m. 2. 15. *ΖΒ*] *Β* e corr. m. 2 F. *ΖΚ*] *ΖΗ*

Ergo in datum circulum quinquangulum aequilaterum et aequiangulum inscriptum est; quod oportebat fieri.


XII.

Circum datum circulum quinquangulum aequilaterum et aequiangulum circumscribere.

Sit datus circulus $ABΓΔE$. oportet igitur circum $ABΓΔE$ circulum quinquangulum aequilaterum et aequiangulum circumscribere.

fingamus, puncta angulorum quinquanguli inscripti [prop. XI] esse A, B, $Γ$, $Δ$, E, ita ut arcus AB, $BΓ$, $ΓΔ$, $ΔE$, EA inter se aequales sint; et per A, B, $Γ$, $Δ$, E circulum contingentes ducantur $HΘ$, $ΘK$, $KΛ$, $ΛM$, MH [III, 17], et sumatur circuli $ABΓΔE$ centrum Z [III, 1], et ducantur ZB, ZK, $ZΓ$, $ZΛ$, $ZΔ$.

et quoniam recta $KΛ$ circulum $ABΓΔE$ contingit in $Γ$, et a Z centro ad $Γ$ punctum contactus $ZΓ$ ducta est, $ZΓ$ ad $KΛ$ perpendicularis est [III, 18]. itaque uterque angulus ad $Γ$ positus rectus est. eadem de causa etiam anguli ad B, $Δ$ puncta positi recti sunt. et quoniam $\angle ZΓK$ rectus est, erit



$$ZK^2 = ZΓ^2 + ΓK^2 \text{ [I, 47].}$$

eadem de causa etiam $ZK^2 = ZB^2 + BK^2$. quare

φ. $ZΓ$] $Γ$ in ras. F. $ZΛ$] ZA φ. 17. ἡ] εἰ φ, supra ἡ m. 2. Post $ABΓΔE$ add. κύκλου V, supra P (comp.), F. 20. τήν] τῶν comp. V. Post $KΛ$ in F add. m. 2: εὐθεῖαν. ἐστίν] PF; om. BVp. 21. καί] m. 2 V. 23. $ZΓK$] K m. 2, ante Z ras. 1 litt. V. τῆς] om. Bp. 24. τῶν] τῆς comp. V. $ZΓ$, $ΓK$] $Γ$ prius et K m. 2 V. 25. ἴσον ἐστί] om. V. ἐστίν F. ZK ἴσον V. ὥστε τά] PF; τὰ ἄρα BVp. τῶν] om. Bp; τῆς V.

ΖΓ, ΓΚ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἐστιν ἴσα, ὧν τὸ ἀπὸ τῆς ΖΓ τῷ ἀπὸ τῆς ΖΒ ἐστιν ἴσον· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΓΚ τῷ ἀπὸ τῆς ΒΚ ἐστιν ἴσον. ἴση ἄρα ἡ ΒΚ τῇ ΓΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΖΒ τῇ ΖΓ, καὶ κοινὴ ἡ ΖΚ, δύο δὴ αἱ ΒΖ, ΖΚ δυσὶ ταῖς ΓΖ, ΖΚ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΒΚ βάσει τῇ ΓΚ [ἐστιν] ἴση· γωνία ἄρα ἡ μὲν ὑπὸ ΒΖΚ [γωνία] τῇ ὑπὸ ΚΖΓ ἐστιν ἴση· ἡ δὲ ὑπὸ ΒΚΖ τῇ ὑπὸ ΖΚΓ· διπλῆ ἄρα ἡ μὲν ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ, ἡ δὲ ὑπὸ ΒΚΓ τῆς ὑπὸ ΖΚΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΓΖΔ τῆς ὑπὸ ΓΖΛ ἐστι διπλῆ, ἡ δὲ ὑπὸ ΔΛΓ τῆς ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΖΓ τῇ ὑπὸ ΓΖΔ. καί ἐστιν ἡ μὲν ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ διπλῆ, ἡ δὲ ὑπὸ ΔΖΓ τῆς ὑπὸ ΛΖΓ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΚΖΓ τῇ ὑπὸ ΛΖΓ· ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΖΓΚ γωνία τῇ ὑπὸ ΖΓΛ ἴση. δύο δὴ τρίγωνά ἐστι τὰ ΖΚΓ, ΖΛΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν ΖΓ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΚΓ εὐθεῖα τῇ ΓΛ, ἡ δὲ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ

---

2. ΖΓ] ΖΒ P. ΖΒ] ΖΓ P. 3. τῆς ΓΚ] in ras. V; Γ in ras. F; τῆς ΚΓ B. Ante τῷ in F add. m. 2: λοιπῷ. ΒΚ] Β in ras. F. ἴσον ἐστίν V. 4. ΒΚ] ΓΚ P. ΓΚ] ΒΚ P. 5. δυσί] δύο P; δυσίν V. 6. εἰσί BVp. ΓΚ] ante Γ ras. 1 litt., Κ m. 2 V; ΚΓ P. ἐστιν] om. P. 7. μέν] m. 2 V. ΒΖΚ] P; ΒΚΖ Bp et FV (sed ΚΖ in ras.). γωνίᾳ] om. P. 8. ΚΖΓ] e corr. P m. 2; ΓΚΖ Bp; ΖΚΓ in ras. FV. ΒΚΖ] P; ΒΖΚ Bp et e corr. FV. ΖΚΓ] P; ΓΖΚ Bp, e corr. FV. 9. ΚΖΓ] Κ in ras. F; Κ et Γ

$$Z\Gamma^2 + \Gamma K^2 = ZB^2 + BK^2,$$

quorum $Z\Gamma^2 = ZB^2$. itaque $\Gamma K^2 = BK^2$. itaque

$$BK = \Gamma K.$$

et quoniam $ZB = Z\Gamma$, et ZK communis est, duae rectae BZ, ZK duabus ΓZ, ZK aequales sunt; et $BK = \Gamma K$. itaque $\angle BZK = KZ\Gamma$ [I, 8]; et

$$\angle BKZ = ZK\Gamma \text{ [I, 32].}$$

itaque $\angle BZ\Gamma = 2\ KZ\Gamma$, $\angle BK\Gamma = 2\ ZK\Gamma$. eadem de causa etiam $\angle \Gamma Z\Delta = 2\ \Gamma Z\Lambda$, $\angle \Delta\Lambda\Gamma = 2\ Z\Lambda\Gamma$. et quoniam arc. $B\Gamma = \Gamma\Delta$, erit etiam

$$\angle BZ\Gamma = \Gamma Z\Delta \text{ [III, 27].}$$

et $\angle BZ\Gamma = 2\ KZ\Gamma$, $\angle \Delta Z\Gamma = 2\ \Lambda Z\Gamma$. itaque

$$\angle KZ\Gamma = \Lambda Z\Gamma.$$

uerum etiam $\angle Z\Gamma K = Z\Gamma\Lambda$. itaque duo trianguli $ZK\Gamma$, $Z\Lambda\Gamma$ duos angulos duobus angulis aequales habent, et unum latus uni lateri aequale, quod utrique commune est $Z\Gamma$; itaque etiam reliqua latera reliquis lateribus aequalia habebunt et reliquum angulum reliquo angulo [I, 26]. itaque

$$K\Gamma = \Gamma\Lambda,\ \angle ZK\Gamma = Z\Lambda\Gamma.$$

---

in ras. m. 2 V. 10. *BKΓ τῆς*] litt. *KΓ τῆς* in ras. m. 1 B. 11. *ΓZΛ*] *Λ* in ras. m. 2 P. *ΔΛΓ*] in ras. m. 2 V; *Λ* in ras. m. 2 P. 12. *ZΛΓ*] in ras. m. 2 V. 13. Post *ΓΔ* in F m. 2 add. *περιφερεία*. *ἐστίν* P. *BZΓ*] in ras. *φ*. 14. *BZΓ*] in ras. F; *ḂZΓ διπλῆ* p. *διπλῆ*] om. p. 15. *ΔZΓ*] in ras. V; *ΓZΔ διπλῆ* Bp; *διπλῆ* in F add. m. 2. *ΛZΓ*] *ΛZ* in ras. m. 1 p. 16. *KZΓ*] *KZ* in ras. P; *KZΓ γωνία* BFp, V m. 2. *τῇ*] *τῆς* P. *ΛZΓ*] *Λ* et *Γ* in ras. m. 2 V. *ἐστὶ δὲ* — 17. *ἴση*] P; om. Theon (BFVp). 17. *ZΓΛ*] *Λ* in ras. P. *ἐστι*] om. P. 18. *ZΛΓ*] *ΓZΛ* P; *ZΓ̈Λ* F. *δυσί*] *δυσίν* V, *δύο* B. Post *ἔχοντα* hab. V: *ἑκατέραν ἑκατέρᾳ*, idem F mg. m. 1. 19. *μιᾷ πλευρᾷ*] supra m. 1 F. 22. *ΓΛ*] *ΛΓ* P. 23. *γωνία*] om. p. Post *ZΛΓ* ras. 1 litt. V, *γωνίᾳ* supra scr. m. 2 F.

ΚΓ τῇ ΓΛ, διπλῆ ἄρα ἡ ΚΛ τῆς ΚΓ. διὰ τὰ αὐτα δὴ δειχθήσεται καὶ ἡ ΘΚ τῆς ΒΚ διπλῆ. καί ἐστιν ἡ ΒΚ τῇ ΚΓ ἴση· καὶ ἡ ΘΚ ἄρα τῇ ΚΛ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ΘΗ, ΗΜ, ΜΛ ἑκατέρα τῶν ΘΚ, ΚΛ ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. λέγω δή, ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ, καὶ ἐδείχθη τῆς μὲν ὑπὸ ΖΚΓ διπλῆ ἡ ὑπὸ ΘΚΛ, τῆς δὲ ὑπὸ ΖΛΓ διπλῆ ἡ ὑπὸ ΚΛΜ, καὶ ἡ ὑπὸ ΘΚΛ ἄρα τῇ ὑπὸ ΚΛΜ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ὑπὸ ΚΘΗ, ΘΗΜ, ΗΜΛ ἑκατέρα τῶν ὑπὸ ΘΚΛ, ΚΛΜ ἴση· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ ἴσαι ἀλλήλαις εἰσίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον, καὶ περιγέγραπται περὶ τὸν ΑΒΓΔΕ κύκλον.

[Περὶ τὸν δοθέντα ἄρα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγέγραπται]· ὅπερ ἔδει ποιῆσαι.

ιγ'.

Εἰς τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον ἐγγράψαι.

XIII. Proclus p. 172, 11.

---

1. *ΚΓ*] (prius) $\overset{\text{II}}{\Gamma}\overset{\text{I}}{K}$ F. 2. *δειχθήσεται*] notat. punctis F. *καί*] om. p. Ante *διπλῆ* m. 2 add. *ἐστιν* F. *ἐστίν*] P; *ἐπεὶ ἐδείχθη ἴση* Theon (BFVp). 3. *ἴση*] P; *καί ἐστι διπλῆ ἡ μὲν ΚΛ τῆς ΚΓ ἡ δὲ ΘΚ τῆς ΒΚ* Theon (BFVp). *τῇ*] *τῆς* comp. p. 4. Ante *καί* in F add. *ὅτι* m. 2. *ΘΗ*] P;

et quoniam $K\Gamma = \Gamma\Lambda$, erit $K\Lambda = 2\,K\Gamma$. eadem ratione demonstrabimus, esse etiam $\Theta K = 2\,BK$. et $BK = K\Gamma$. quare etiam $\Theta K = K\Lambda$. similiter demonstrabimus, esse etiam singulas rectas ΘH, HM, $M\Lambda$ utrique ΘK, $K\Lambda$ aequales. itaque quinquangulum $H\Theta K\Lambda M$ aequilaterum est. dico, idem aequiangulum esse. nam quoniam $\angle ZK\Gamma = Z\Lambda\Gamma$, et demonstratum est, esse $\angle \Theta K\Lambda = 2\,ZK\Gamma$, et $K\Lambda M = 2\,Z\Lambda\Gamma$, erit etiam $\angle \Theta K\Lambda = K\Lambda M$. similiter demonstrabimus, etiam singulos angulos $K\Theta H$, ΘHM, $HM\Lambda$ utrique angulo $\Theta K\Lambda$, $K\Lambda M$ aequales esse. itaque quinque anguli $H\Theta K$, $\Theta K\Lambda$, $K\Lambda M$, ΛMH, $MH\Theta$ inter se aequales sunt. itaque aequiangulum est quinquangulum $H\Theta K\Lambda M$. sed demonstratum est, idem aequilaterum esse, et circum circulum $AB\Gamma\Delta E$ circumscriptum est.

Ergo circum datum circulum quinquangulum aequilaterum et aequiangulum circumscriptum est; quod oportebat fieri.

XIII.

In datum quinquangulum, quod aequilaterum et aequiangulum est, circulum inscribere.

Sit datum quinquangulum aequilaterum et aequiangulum $AB\Gamma\Delta E$. oportet igitur in quinquangulum $AB\Gamma\Delta E$ circulum inscribere.


ΘH F; $H\Theta$ BVp. 5. $M\Lambda$] M in ras. m. 2 V. Ante *ἴση* add. F m. 2: *ἐστιν*. *ἐστί*] *ἐστίν* P. 9. *ἡ*] (prius) om. p. 10. *ἄρα*] *ἐστιν*, supra scr. *ἄρα* m. 2 F. *τῇ*] *τῆς* Bp. *ἐστιν*] om. F. 11. Ante *καί* F m. 2 ins. *ὅτι*. $K\Theta H$] e corr. F; litt. ΘH in ras. m. 2 V; $\Theta K\Lambda$ P. 12. Ante *ἴση* insert. *ἐστιν* F m. 2. 15. *περιγέγραπται*] om. Bp. 17. *περί* — 18. *περιγέγραπται*] om. codd.; add. Augustus. 23. Post *πεντάγωνον* add. *ὃ ἐστιν* BVp, F m. 2. 24. *εἰς τό*] seq. ras. 1 litt. P.

Τετμήσθω γὰρ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΔΖ εὐθειῶν· καὶ ἀπὸ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ ΓΖ, ΔΖ εὐθεῖαι, ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΑ, ΖΕ εὐθεῖαι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΓΖ, δύο δὴ αἱ ΒΓ, ΓΖ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΒΓΖ γωνίᾳ τῇ ὑπὸ ΔΓΖ [ἐστιν] ἴση· βάσις ἄρα ἡ ΒΖ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΒΓΖ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἐστιν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΓΒΖ γωνία τῇ ὑπὸ ΓΔΖ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ὑπὸ ΓΔΕ τῆς ὑπὸ ΓΔΖ, ἴση δὲ ἡ μὲν ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΓΒΖ, καὶ ἡ ὑπὸ ΓΒΑ ἄρα τῆς ὑπὸ ΓΒΖ ἐστι διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΖ γωνία τῇ ὑπὸ ΖΒΓ· ἡ ἄρα ὑπὸ ΑΒΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΒΖ εὐθείας. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκατέρα τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ δίχα τέτμηται ὑπὸ ἑκατέρας τῶν ΖΑ, ΖΕ εὐθειῶν. ἤχθωσαν δὴ ἀπὸ τοῦ Ζ σημείου ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας κάθετοι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΘΓΖ γωνία τῇ ὑπὸ ΚΓΖ, ἐστὶ δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΖΘΓ [ὀρθῇ] τῇ ὑπὸ ΖΚΓ ἴση, δύο δὴ τρίγωνά ἐστι τὰ ΖΘΓ, ΖΚΓ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν ΖΓ ὑπο-

---

2. *ὑπό*] om. φ. *ΔΖ*] ΖΔ Bp, V in ras. m. 2. 6. *ἴσαι* — 8. *ἴση* (prius)] mg. m. 1 F. 7. *εἰσίν*] P; *εἰσί* BFVp. 8. *ἐστιν ἴση*] F in textu m. 1, Bp; *ἴση ἐστί* V, F mg.; *ἴση* P. *ΔΖ*] *ΔΘ* F, corr. m. rec. 9. *ΒΓΖ*] in ras. V. *ΔΓΖ*] *ΔΖΓ* P. *ἴσον ἐστί* V. 12. *ΓΒΖ*] *ΒΓΖ* p; *ΓΒΖ* F m. 1, *ΑΒΖ* φ, corr. m. rec. *διπλῆ*] om. V. 13. *ΓΔΖ* *διπλῆ* seq. ras. 2 litt.

secetur enim uterque angulus $B\Gamma\Delta, \Gamma\Delta E$ in binas partes aequales utraque recta $\Gamma Z, \Delta Z$, et a Z puncto, in quo rectae $\Gamma Z, \Delta Z$ inter se concurrunt, ducantur rectae ZB, ZA, ZE. et quoniam $B\Gamma = \Gamma\Delta$, et ΓZ communis est, duae rectae $B\Gamma, \Gamma Z$ duabus $\Delta\Gamma, \Gamma Z$ aequales sunt; et $\angle B\Gamma Z = \Delta\Gamma Z$. itaque $BZ = \Delta Z$ [I, 4], et $\triangle B\Gamma Z = \Delta\Gamma Z$ [id.], et reliqui anguli reliquis angulis aequales erunt, sub quibus aequalia latera subtendunt [id.]. itaque



$$\angle \Gamma BZ = \Gamma\Delta Z.$$

et quoniam $\angle \Gamma\Delta E = 2\,\Gamma\Delta Z$, et $\angle \Gamma\Delta E = AB\Gamma$, $\angle \Gamma\Delta Z = \Gamma BZ$, erit etiam $\angle \Gamma BA = 2\,\Gamma BZ$. itaque $\angle ABZ = ZB\Gamma$.[1]) itaque $\angle AB\Gamma$ recta BZ in duas partes aequales diuisus est. similiter demonstrabimus, etiam utrumque angulum $BAE, AE\Delta$ utraque recta ZA, ZE in binas partes aequales diuisum esse. ducantur igitur a Z puncto ad rectas $AB, B\Gamma, \Gamma\Delta, \Delta E, EA$ perpendiculares $ZH, Z\Theta, ZK, Z\Lambda, ZM$. et quoniam

$$\angle \Theta\Gamma Z = K\Gamma Z,$$

et $\angle Z\Theta\Gamma = ZK\Gamma$, quia recti sunt, duo trianguli $Z\Theta\Gamma$, $ZK\Gamma$ duos angulos duobus angulis aequales habent et unum latus uni lateri aequale, quod utriusque commune est $Z\Gamma$ sub altero aequalium angulorum sub-

1) $\angle AB\Gamma = 2\,\Gamma BZ$, $\angle \Gamma BZ = \Gamma BZ$, tum subtrahendo $\angle ABZ = \Gamma BZ$.

V. 17. BZ] ZB e corr. F. 18. *ὑπό*] supra F. 21. ZH] e corr. m. 2 V. 22. $Z\Lambda$] in ras. F. $\Theta\Gamma Z$] in ras. p. 23. *ἐστίν* B. *ὀρθῇ*] om. P; *ὀρθῇ ἄρα* V (*ἄρα* eras.). 24. $Z\Theta\Gamma$] Γ in ras. B. 25. *ταῖς δυσί* V.

τείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΖΘ κάθετος τῇ ΖΚ καθέτῳ. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ΖΛ, ΖΜ, ΖΗ ἑκατέρᾳ τῶν ΖΘ, ΖΚ ἴση ἐστίν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν Η, Θ, Κ, Λ, Μ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθειῶν διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Η, Θ, Κ, Λ, Μ σημείοις γωνίας. εἰ γὰρ οὐκ ἐφάψεται αὐτῶν, ἀλλὰ τεμεῖ αὐτάς, συμβήσεται τὴν τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένην ἐντὸς πίπτειν τοῦ κύκλου· ὅπερ ἄτοπον ἐδείχθη. οὐκ ἄρα ὁ κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν Η, Θ, Κ, Λ, Μ σημείων γραφόμενος κύκλος τεμεῖ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας· ἐφάψεται ἄρα αὐτῶν. γεγράφθω ὡς ὁ ΗΘΚΛΜ.

Εἰς ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ιδ'.

Περὶ τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον περιγράψαι.

Ἔστω τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον περιγράψαι.

---

4. ΖΗ] ΜΗ P. 5. ἐστιν ἴση V. 7. Η] m. 2 V. ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ Gregorius. 10. Μ] om. P. 11. σημείοις] om. Bp. 12. τήν] ἡ Bp. 13. ἀγομένη Bp. 14. ἐδείχθη] om. Bp. 15. καὶ διαστήματι ἑνί Bp. ΖΗ, ΖΘ,

tendens. itaque etiam reliqua latera reliquis lateribus aequalia habebunt. itaque $Z\Theta = ZK$. similiter demonstrabimus, etiam singulas rectas $Z\Lambda$, ZM, ZH utrique $Z\Theta$, ZK aequales esse. itaque quinque rectae ZH, $Z\Theta$, ZK, $Z\Lambda$, ZM inter se aequales sunt. itaque qui centro Z radio autem qualibet rectarum ZH, $Z\Theta$, ZK, $Z\Lambda$, ZM describitur circulus, etiam per reliqua puncta ueniet et rectas AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA continget, quia anguli ad puncta H, Θ, K, Λ, M positi recti sunt. nam si non continget, sed eas secabit, accidet, ut recta ad diametrum circuli in termino perpendicularis ducta intra circulum cadat, quod demonstratum est absurdum esse [III, 16]. itaque circulus centro Z radio autem qualibet rectarum ZH, $Z\Theta$, ZK, $Z\Lambda$, ZM descriptus rectas AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EA non secabit; ergo eas continget. describatur ut $H\Theta K\Lambda M$.

Ergo in datum quinquangulum, quod aequilaterum et aequiangulum est, circulus inscriptus est; quod oportebat fieri.

XIV.

Circum datum quinquangulum, quod aequilaterum et aequiangulum est, circulum circumscribere.

Sit datum quinquangulum, quod aequilaterum et aequiangulum est, $AB\Gamma\Delta E$. oportet igitur circum $AB\Gamma\Delta E$ quinquangulum circulum circumscribere.

ZK, $Z\Lambda$, ZM *εὐθειῶν* Gregorius. 16. *κύκλος*] m. 2 V. 17. *γεγράφθω ὡς*] *καί ἐστι ἐγγεγραμμένος ὡς* in ras. m. 2 F. *ὁ HΘKΛM*] in ras. F; litt. *HΘ* e corr. m. 1 p. 20. *γέγραπται* V, *ἐπιγέγραπται* F. 24. *ὅ ἐστιν*] om. Bp. 26. *πεντάγωνον*] mg. m. 1 F.

Τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΔΖ, καὶ ἀπὸ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν αἱ εὐθεῖαι, ἐπὶ τὰ Β, Α, Ε σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΖΒ, ΖΑ, ΖΕ. ὁμοίως δὴ τῷ πρὸ τούτου δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ὑπὸ ΓΒΑ, ΒΑΕ, ΑΕΔ γωνιῶν δίχα τέτμηται ὑπὸ ἑκάστης τῶν ΖΒ, ΖΑ, ΖΕ εὐθειῶν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΓΔ γωνία τῇ ὑπὸ ΓΔΕ, καί ἐστι τῆς μὲν ὑπὸ ΒΓΔ ἡμίσεια ἡ ὑπὸ ΖΓΔ, τῆς δὲ ὑπὸ ΓΔΕ ἡμίσεια ἡ ὑπὸ ΓΔΖ, καὶ ἡ ὑπὸ ΖΓΔ ἄρα τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΖΓ πλευρᾷ τῇ ΖΔ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ΖΒ, ΖΑ, ΖΕ ἑκατέρᾳ τῶν ΖΓ, ΖΔ ἐστιν ἴση· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ καὶ διαστήματι ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἔσται περιγεγραμμένος. περιγεγράφθω καὶ ἔστω ὁ ΑΒΓΔΕ.

Περὶ ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ιε'.

Εἰς τὸν δοθέντα κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕΖ κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

---

1. ΒΓΔ] ΑΒΔ in ras. F, seq. uestig. Δ. 2. ΔΖ] in ras. m. 2 V; ΔΖ *εὐθείαν* F (*εὐθείαν* m. 2 in mg. transit). *ἀπό*] corr. in *ὑπό* m. rec. F. 4. Β, Α, Ε] ''Α, 'Β, Ε''' F. 5. *τῷ*]

secetur igitur uterque angulus $B\Gamma\Delta$, $\Gamma\Delta E$ in binas partes aequales utraque recta ΓZ, ΔZ, et a puncto Z, in quo rectae concurrunt, ad puncta B, A, E ducantur rectae ZB, ZA, ZE. iam eodem modo, quo in praecedenti propositione demonstrabimus [p. 308, 16], etiam singulos angulos ΓBA, BAE, $AE\Delta$ singulis rectis ZB, ZA, ZE in binas partes aequales diuidi. et quoniam $\angle B\Gamma\Delta = \Gamma\Delta E$, et $\angle Z\Gamma\Delta = \frac{1}{2} B\Gamma\Delta$, $\angle \Gamma\Delta Z = \frac{1}{2} \Gamma\Delta E$, erit etiam $\angle Z\Gamma\Delta = Z\Delta\Gamma$. quare etiam $Z\Gamma = Z\Delta$ [I, 6]. similiter demonstrabimus, etiam singulas rectas ZB, ZA, ZE utrique rectae $Z\Gamma$, $Z\Delta$ aequales esse. itaque quinque rectae ZA, ZB, $Z\Gamma$, $Z\Delta$, ZE inter se aequales sunt. quare qui centro Z et radio qualibet rectarum ZA, ZB, $Z\Gamma$, $Z\Delta$, ZE describitur circulus, etiam per reliqua puncta ueniet, et erit circumscriptus. circumscribatur et sit $AB\Gamma\Delta E$.



Ergo circum datum quinquangulum, quod aequilaterum et aequiangulum est, circulus circumscriptus est; quod oportebat fieri.

XV.

In datum circulum sexangulum aequilaterum et aequiangulum inscribere.

Sit datus circulus $AB\Gamma\Delta EZ$. oportet igitur in circulum $AB\Gamma\Delta EZ$ sexangulum aequilaterum et aequiangulum inscribere.

τό B. καί] om. Bp. 7. ZB, ZA, ZE] Pp; $Z\ddot{A}$, $Z\dot{B}$, $Z\dddot{\Gamma}$ ($Z\Gamma$ eras.) F; BZ, ZA, ZE BV. 9. ἐστιν P. 15. $Z\Delta$, ZE] om. P; corr. m. rec. 16. καί] comp. insert. m. 1 F. δὲ ἑνί F. 20. ἄρα] PV et F, sed punctis notat.; om. Bp. δοθὲν ἄρα Bp, in F ἄρα insert. m. 2. 24. κύκλο F. 27. ἑξάγωνον] mg. F.


Ἤχθω τοῦ ΑΒΓΔΕΖ κύκλου διάμετρος ἡ ΑΔ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Η, καὶ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ τῷ ΔΗ κύκλος γεγράφθω ὁ ΕΗΓΘ, καὶ ἐπιζευχθεῖσαι αἱ ΕΗ, ΓΗ διήχθωσαν ἐπὶ τὰ Β, Ζ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ· λέγω, ὅτι τὸ ΑΒΓΔΕΖ ἑξάγωνον ἰσόπλευρόν τέ ἐστι καὶ ἰσογώνιον.

Ἐπεὶ γὰρ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓΔΕΖ κύκλου, ἴση ἐστὶν ἡ ΗΕ τῇ ΗΔ. πάλιν, ἐπεὶ τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΗΓΘ κύκλου, ἴση ἐστὶν ἡ ΔΕ τῇ ΔΗ. ἀλλ' ἡ ΗΕ τῇ ΗΔ ἐδείχθη ἴση· καὶ ἡ ΗΕ ἄρα τῇ ΕΔ ἴση ἐστίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΕΗΔ τρίγωνον· καὶ αἱ τρεῖς ἄρα αὐτοῦ γωνίαι αἱ ὑπὸ ΕΗΔ, ΗΔΕ, ΔΕΗ ἴσαι ἀλλήλαις εἰσίν, ἐπειδήπερ τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· καί εἰσιν αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι· ἡ ἄρα ὑπὸ ΕΗΔ γωνία τρίτον ἐστὶ δύο ὀρθῶν. ὁμοίως δὴ δειχθήσεται καὶ ἡ ὑπὸ ΔΗΓ τρίτον δύο ὀρθῶν. καὶ ἐπεὶ ἡ ΓΗ εὐθεῖα ἐπὶ τὴν ΕΒ σταθεῖσα τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΕΗΓ, ΓΗΒ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ τρίτον ἐστὶ δύο ὀρθῶν· αἱ ἄρα ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὥστε καὶ αἱ κατὰ κορυφὴν αὐταῖς αἱ ὑπὸ ΒΗΑ,

---

1. *ΑΒΓΔ* B. *ΑΔ*] e corr. m. rec. F. 2. *Η*] post ras. 1 litt. F. 3. *Δ*] non liquet ob ras. in F. *ΔΗ*] *Δ* e corr. m. rec. F. 4. *ΕΗΓΘ*] e corr. m. rec. F. *ἐπιζευχθωσαι* F, corr. m. 1. 5. *Β*] in ras. m. 2 FV. 6. Post *λέγω* add. *δή* m. rec. F. 8. *ΑΒΓΔ* Bp. 9. *Δ*] *Ε* F. 10. *ΗΓΘ*] P; *ΗΘΚ* F; *ΕΗΓΘ* BVp; in V seq. ras. 1 litt. 11. *ΔΕ*] *ΕΔ* F. *ΔΗ*] *ΕΗ* F. *ἀλλά* P. 12. *ἄρα*] m. 2 V. *ἐστιν ἴση* Vp. *ἐστί*] *ἐστίν* PF. 15. *ἰσοπλεύρων* F, sed corr. *αἱ*] *αἱ τρεῖς αἱ* F. 16. *εἰσίν*] *εἰσί* V. *καὶ εἰσιν*] om. B

